UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Cyrenio. 493.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

οἷς καθείρχθη, τὰς ἀμοιβαίους εἱρκτὰς, ἃς ἐπὶ στρατόπεδον ἑλκόμενος ᾤκησε τὴν ἐκεῖσε βάσανόν τε καὶ γύμνωσιν, ἣν παρὰ θεοῦ ὑπέμεινε πρὸς διόρθωσιν. ἀλλ᾽ ἐπειδὴ πάντων ἐκείνων ἐπιλαθόμενος, πάλιν ἄρξαι ἱμείρεται, ὡς μανθάνομεν, μὴ ἐνδώσῃς κωλύων, ὅση σοι δύναμίς ἐστι. σαυτῷ τε γὰρ καὶ πόλει καὶ αὐτῷ ἐκείνῳ χαριῇ, σαυτῷ τὴν δόξαν, τῇ πόλει τὴν ἡσυχίαν, ἐκείνῳ τὸ μὴ πολλὰ ἁμαρτεῖν, καὶ πλείονα πάλιν παθεῖν.

coniectus eſt, ea item, quibus cum ad caſtra traheretur, aſtrictus eſt, cruciatum eũ ac nuditatem quam illic diuinitus, vt ad meliorem mẽtem rediret, ſuſtinuit. Quoniam autem harum omnium rerum obliuione captus, præfecturam rurſum, vt ad nos allatum eſt, affectat, ne id quæſo permittas: verùm omnibus viribus prohibe. Sic enim, & tibi, & vrbi, & illi ipſi commodabis, tibi nimirum gloriam, vrbi quietem, illi ne multa peccet, ac pluribus rurſum ſuppliciis afficiatur.

Εὐτονίῳ διακόνῳ. υϛα.

Ἡ τῆς σανίδος γραφὴ, ἣν Πιλᾶτος περὶ τῆς κυριακῆς ἔπηξε κεφαλῆς, τὴν τοῦ κυρίου ἐπλήρου φωνὴν, ἐπειδὰν ὑψωθῶ, λέγοντος, πάντας εἱλκύσω πρὸς ἐμαυτόν. ἐδήλου τοίνυν ἡ ἐκεῖθεν ἀνάγνωσις, οὐχ ὑπὲρ ἰουδαίας μόνης, ἀλλὰ καὶ πάσης ἕλληνος καὶ βαρβάρου γεγενῆσθαι τὸ σωτήριον πάθος.

τοῦ λευκώματος.

παντός.

*Eutonio Diacono.* 491.

Tabellæ illius ſcriptura, quam Pilatus ſupra Dominicum caput fixit, hanc Domini vocem explebat, cùm exaltatus fuero, omnia traham ad meipſum. Itaque lectio ea hoc indicabat, ſalutiferam paſſionem non pro Iudæa duntaxat, verùm etiam pro omnibus tam Græcis, quàm barbaris nationibus extitiſſe.

*Ioan. 19.*

*Ioan. 12.*

Εὐσεβίῳ ἐπισκόπῳ. υϛβ.

Ἴσθι θαυμάσιε, ὡς ἡ κρίσις ἀνίλεος τῷ μὴ ποιήσαντι ἔλεος, οὐκ ἐκ τῶν ἀλλοτρίων μόνον δωρεῶν, ὧν αὐτὸς τοὺς πτωχοὺς ἀποστερεῖς, ἀλλὰ καὶ ἐκ τῶν οἰκείων, ὧν ἑκουσίως τὴν μετάδοσιν ποιεῖσθαι χρεωστεῖς.

ἀνήλεος.

*Euſebio Epiſcopo.* 492.

Velim hoc ſcias, vir eximie, iudicium miſericordiæ expers huic fore, qui miſericordiam non fecerit, non ex alienis duntaxat muneribus ac beneficiis, quibus tu pauperes ſpolias, verùm etiam ex propriis, quæ tu vltrò ac ſponte cum aliis communicare teneris.

*Iacob. 2.*

Κυρηνίῳ. υϛγ.

Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; τί νεανιεύεται φθορά; τί μέγα φρονεῖ καὶ ὑπεραίρεται σκιά; τί σε φυσᾷ ὄνειρος ἀρχῆς; πῶς οὐχ ὁρᾷς τοὺς καταλύοντας αἰσχρῶς; πῶς οὐ ζηλοῖς τοὺς διαπρέψαντας χρηστῶς; ἀλλὰ βραχυτελῆ ἡγεμονίαν, ὡς ἀτελεύτητον νομίζεις ἐξουσίαν, ἐφ᾽ ᾗ ὁ τοῦ χρόνου σε κύκλος θεραπεύσῃ στρεφόμενος, πρὸς τέλος ὠθῶν τὴν ἀρχήν σου, καὶ τέλος ἐπιτιθεὶς τῷ βρασμῷ σου.

*Cyrenio.* 493.

Quid ſuperbit terra & cinis? Quid inſolenter ſe gerit labes & corruptela? Quid magnificè de ſe ſentit ac ſe effert vmbra? Quid te imperij ac præfecturæ inſomniũ inflat? Quin tu eos cernis qui turpiter ac fœdè diem vitæ extremum claudũt? Quin tu eorum æmulum te præbes, qui probè atque inſigniter vixerunt? verùm breuem principatum tanquam ſempiternam potẽtiam arbitraris: ob quam temporis orbis conuerſus te curabit, præfecturam tuam ad finem impellens, atque æſtui tuo terminum imponens.

*Eccle. 10.*